Αἱ διάφοροι φάσεις τῆς Ἑλληνικῆς φιλοσοφίας εἶχον συνδεθῆ ἐν τῇ παραδόσει ἐπὶ μακρόν ἤδη διά τῆς ἐπιμιξίας ξένων νέων στοιχείων διὰ πληθύος παντοειδῶν συναφειῶν· διὰ τῆς παραλαβῆς καὶ διαδόσεως παρὰ τοῖς Ῥωμαίοις ἀνεπτύχθη ἀνυψωθεῖα αὕτη εἰς λίαν εὐάρεστον σημεῖον κατὰ τὰς δύο πρώτας ἑκατονταετηρίδας τῆς αὐτοκρατορικῆς περιόδου καὶ δοῦσα ὤθησιν εἰς νέα σπουδαῖα συστήματα. Δῆλον ὅτι ἀνεκαινίσθη ἡ Ἰουδαϊκὴ καὶ Ἑλληνικὴ φιλοσοφία, αἱ σχολαί τῶν νεοπυθαγορείων καὶ νεοπλατωνικῶν· πρὸς τούτοις ὅμως ὑπῆρχον πολλοί, οἵτινες τὸ ἀρχαιοτέρῳ συστήματι ἀκολουθοῦντες, ἐν ἰδίᾳ μεθόδῳ καὶ καθ' ἑαυτοὺς σπουδάζοντες ἐμορφοῦντο· ὡς βλέπομεν ἐν τῷ Μάρκῳ Ἀντωνίνῳ σπουδαῖόν τινα ἀντιπρόσωπον τοῦ παλαιοῦ Στωϊκισμοῦ[3]).

Πάντως ὅμως ἐγένετο ἡ κυρία αὕτη ὑπόθεσις καὶ ἰδέα πάντων τούτων τῶν συστημάτων εἰς ἁπάσας ταύτας τὰς τροποποιήσεις προϊόντος τοῦ χρόνου τοῖς πᾶσι κοινόν ἀγαθόν, καὶ γνῶσίς τις ταύτης βαθμιαίως μέγα μέρος τῆς κοινῆς παιδείας ἐγίγνετο. Σύμπτωσίς τις καὶ μέσον ταύτης τῆς διαδόσεώς ἐστιν ἡ πληθύς ἐκείνων τῶν ψευδοφιλοσόφων τῶν καταλογιζόντων ἑαυτοὺς τοῖς Στωϊκοῖς, Κυνικοῖς, καὶ Ἐπικουρείοις, οἵτινες ἐν πάσῃ τῇ Ῥωμαϊκῇ καὶ Ἑλληνικῇ φιλοσοφίᾳ ἐκείνης τῆς περιόδου, ἀείποτε ἀντικείμενον σκώμματός εἰσιν, καὶ οἵτινες ὡς ἐπὶ τὸ πλεῖστον εἰς τὴν σάτυραν τοῦ Λουκιανοῦ περιέπεσον. Τοῦτ' αὐτό συνέβη ἐπίσης καὶ διὰ τὴν σοφιστικὴν, ἥτις τὴν ὑψίστην πνευμα-

1) Ἀριστ. Τόμ. Β'. §. 317.
2) Ἀριστ. Τόμ. Α'. §. 360
3) Koenigsberg De Stoicismo M. Antonini. Königsbg. 1861.

τικὴν μόρφωσιν ἠξίου ἀντιπροσωπεύειν, οὐχ ἧττον τὴν αὐτὴν τύχην καὶ αὕτη μετὰ τῆς φιλοσοφίας ἔσχεν· ταύτην ἔδει τοὐλάχιστον ἐκείνην γνῶναι προσποιεῖσθαι. Ἐνταῦθα ἡ σχέσις τοῦ Ἀριστείδου χαρακτηριστική ἐστίν· ἀκριβής τις δῆλον ὅτι μελέτη ἤ καὶ ἁπλῆ μόνον κατανόησις φιλοσοφικοῦ τινός συστήματος οὐδαμοῦ αὐτῷ δεδήλωται, καὶ κατ' ἀκολουθίαν ἀνεπτυγμένη τις καὶ συνεχής ἰδέα περὶ θεοῦ καὶ κόσμου ὅλως ἀπ' αὐτοῦ ἐλλείπει. Ἄν δὲ αὐτόν αὖθις θεοσοφιστικαί καὶ πανθεϊστικαί κεχρωματισμέναι ἰδέαι διακρίνουσιν, οὐχ ἧττον ἀναγνωρίζει τις ἅπαξ διὰ παντός, ὅτι αὗται γίγνονται μᾶλλον ἐκ τῆς ἑκάστοτε ῥητορικῆς ἀνάγκης, ἤ ὅτι δηλοῦσι πίστιν τινά βεβαίαν· πῶς δὲ αἱ γνώσεις αὐτοῦ πρὸς τὸν Πλάτωνα εὑρίσκονται τοῦτο δῆλον γίγνεται ἐκ τῶν ἀνωτέρω.

Ἔν τισι δὲ τῶν κοινῶς ὑπ' αὐτοῦ ἐκφωνηθέντων ἐγκωμίων ἐνυπάρχουσι χωρία δι' ὧν ἐκχέει λαθραίως τὸν ἰόν αὐτοῦ ἐναντίον τοῦ Γοργίου τοῦ Πλάτωνος, ἅτινα καθ' ὅλον ἐπὶ διαστροφῆς βασίζονται καὶ τὴν παρανόησιν τῶν κυρίως ἐννοιῶν καὶ τοῦ περιεχομένου τῆς Πλατωνικῆς φιλοσοφίας ἀποδεικνῦσιν· εἶτα ὅπως τὴν ἀξιοπιστίαν τοῦ Πλάτωνος ὕποπτον καταστήσῃ περὶ τοῦ ἀδυνάτου τῆς χρονολογίας τοῦ Συμποσίου καὶ τοῦ Μενεξένου, λίαν διεξοδικῶς ἐξαίρει καὶ συζητεῖ[1]), καὶ μικρόν παρόραμα περὶ τὸ τέλος τοῦ πρὸς Καπίτωνα λογου[2]) ἐξιχνιάσας, ὡς παρένθεσίν τινα ἐκ τοῦ Σοφοκλέους, τὸ ψευδές τῷ Εὐριπίδῃ ἀπέδωκεν ἐν τῷ Θεάγει καὶ τῇ Πολιτείᾳ[3]). Ἰδίᾳ δὲ φαίνεται ὁ Ἀριστείδης, ὅτι τὰς ἐπιστολάς μετ' ἐπιστασίας ἀνέγνω, ἅς ἀναμφιῤῥήστως ὡς γνησίας παρεδέχθη, ὡς ὁ αὐτός λέγει — καὶ ἔγω γε πιστεύω· μαινοίμην ἄν, εἰ μή κτλ.[4]) — εἰ καὶ αἱ λέξεις ἀποκλειστικῶς δύνανται εἰς τὸ περιεχόμενον τοῦ ἀποσπάσματος ἀποδοθῆναι. Καθ' ὅλα τὰ λοιπὰ ὅμως δοκεῖ τὸν Ἀριστείδην τὴν φιλοσοφίαν μόνον κατ' ἐπιφάνειαν καὶ ἐκ φήμης εἰδέναι, καί τοι μετὰ

1) Ἀριστ. Τόμ. Β'. §. 286—287.
2) Ἀριστ. Τόμ. Β'. §. 327.
3) Ἀριστ. Τόμ. Β'. §. 287.
4) Ἀριστ. Τόμ. Β'. §. 68, 10.

ζῆλον ἀντιτάσσεται πρὸς αὐτὴν ἀπροκαλύπτως καὶ ὑπούλως καταπολεμῶν· καίτοι ἀπευθύνει οὗτος τὰς ἐκφραστικωτάτας καὶ ἀνεπιεικεστάτας ἐπιθέσεις κατ' ἐκείνων τῶν γνωστῶν τετριμμένων εἰδῶν τῆς φιλοσοφίας[1]). Ἀλλ' ἡ ἔρις μεταξὺ σοφιστικῆς καὶ φιλοσοφίας πανταχοῦ ὑφίσταται, καὶ πολλάκις μεθ' ἥττονος ἀποκεκαλυμμένης ἐριστικότητος ἰσχύει αὕτη. Ἐντεῦθεν ἡ σοφιστικὴ μετὰ τῆς πλουσίας αὐτῆς τέχνης, ἐξήνεγκε τὸν πόλεμον κατὰ τῶν Σωκρατικῶν ἰδεῶν ἐν τῷ Γοργίᾳ περὶ ῥητορικῆς. Τούτων οὕτως ἐχόντων, ἡ ψευδὴς πολλάκις, ὡς καὶ ἡ ἀληθὴς φιλοσοφία κατὰ τῆς σοφιστικῆς ἐφαίνετο ἀγωνισαμένη. Ἅπαντες οἱ ἀτελεύτητοι καὶ μακροσκελεῖς Πλατωνικοὶ λόγοι (περὶ ῥητορικῆς ἐν Α'. καὶ Β'. τόμ. καὶ ὑπὲρ τῶν τεσσάρων §. 54—56 καὶ ἐν τόμ. Β'. §. 1—315), ἀποδεικνύουσι τὸν ἀληθῆ αὐτῶν σκοπόν, ὅς μετὰ πολλοῦ τοῦ σκώμματος καὶ ἔτι πλείονος περιφρονήσεως καὶ μίσους τὴν ψευδῆ φιλοσοφίαν ἐξεικονίζουσιν.

Ἐν τῷ περὶ γνησιότητος τῶν δύο λόγων τοῦ Ἀριστείδου περὶ πολιτικοῦ καὶ ἀφελοῦς λόγου ὑπὸ Baumgart[2]) ὑπάρχει σημείωσίς τις ἐν ᾗ φέρεται, ὅτι οἱ Χριστιανοί τῆς Α'. καὶ Β'. ἑκατονταετηρίδος βασιζόμενοι ἐπὶ Πλατωνικοῦ τινός χωρίου, ὅπερ κατὰ σοφιστῶν ἐστίν, ἐμίσουν ἅπαντας τοὺς ἀρχαίους ῥήτορας καὶ δὴ καὶ τοὺς συγχρόνους αὐτῶν σοφιστάς σφόδρα ἀπεστρέφοντο.

Τούτων ὁ Ἀριστείδης μεμφόμενος, ἀφοῦ πρότερον κακῶς λέγει τὸν Πλάτωνα καὶ τὴν πικρὰν χολὴν κατ' αὐτοῦ ἐκχέει, ἐπάγεται εἶτα τάδε — . . ἀλλὰ καὶ γὰρ οὐκ εἰ Πλάτων τοσοῦτον ὑπερφέρων καὶ δικαίως μέγιστον ἐφ' αὑτῷ φρονῶν κατηγορῆσαί τινων ἠξίωσε μεγέθει τινί καὶ ἐξουσίᾳ φύσεως, τοῦτο καὶ μάλιστ' ἄν τις ἀγανακτήσειεν, ἀλλ' ὅτι καὶ τῶν κομιδῇ τινές οὐδενός ἀξίων ἀφορμῇ ταύτῃ χρώμενοι μελέτην ἤδη τὸ πρᾶγμα πεποίηνται καὶ τολμῶσι καὶ περὶ Δημοσθένους . . . . ὅτι ἂν τύχωσι βλασφημεῖν. — Περὶ τούτων σφόδρα ἀγανακτῶν ὁ Ἀριστείδης λέγει κατωτέρω — . . . οἵ πλείω μὲν σολοικίζουσιν ἤ

1) Ἀριστ. Τμ. Β'. §. 95. Καὶ §. 307—312. Καὶ §. 423, 10.

2) Baumgart εἰς τὴν περὶ Ἀριστ. πραγματείαν σελ. 26.

φθέγγονται, ὑπερορῶσι δὲ τῶν ἄλλων, ὅσον αὐτοῖς ὑπερορᾶσθαι προσήκει, οἵτινες ἀείποτε περὶ ἀρετῆς ἁμιλλῶνται καὶ οὐδὲν περὶ αὐτῆς ἴσασιν, Ἡσιόδου κηφῆνες, Ἀρχιλόχου πίθηκοι[1]). — Τὸ ἀκόλουθον χωρίον κατὰ τὸν Baumgart[2]) οὐ κατενόησεν ὁ Reiske καὶ ψευδῶς τοῦτο ἐδοκίμασεν ἐπανορθῶσαι — τῶν ἱματίων ἡπιμένων οὐδέν διαφέροντες, τὰ μὲν ἔξω σεμνοί, τὰ δ' ἔνδον ἄλλως ἂν εἰδείη τις, — οὗτοι νομίζουσιν ἑαυτοὺς ὁμοίους τῷ Διί, καὶ ὅμως, ὀβολοῦ τοσοῦτον ἡττῶνται, οὗτοι ὁμιλοῦσι περὶ ἀρετῆς, εἰ δέ τις αὐτῶν περὶ τῆς ἐγκρατείας διαλεγομένων σταίη ἔχων ἔνθρυπτα καὶ στρεπτούς, ἐκβάλλουσι τὴν γλῶσσαν ὥσπερ Μενέλαος τὸ ξίφος· αὐτὴν μὲν γὰρ ἴδωσι τὴν Ἑλένην, Ἑλένην λέγω; θεράπαιναν μὲν οὖν ὁποίαν ἐποίησε Μένανδρος τὴν Φρυγίαν — κτλ. Καὶ κατωτέρω ἐπάγεται — τῷ ὄντι παιδείαν ἀποφαίνουσι τοὺς Σατύρους — κτλ. Ἡ ἀλαζονεία αὐτῶν ἐναντίον ἑκάστου ἀνδρός ἐστίν, ἐξαιρέσει τῶν προὐχόντων, ὧν τοῖς ὑπηρέταις, οὕτως εἰπεῖν, μετὰ τῆς μεγίστης ἀναιδείας πλησιάζουσιν· χρῆμα οὐδόλως λαμβάνουσιν, ἀλλὰ χρηματικὴν ἀξίαν, καὶ εἰ ἐδίδετο αὐτοῖς ἴσως μόνον ὀλίγον, εἰ ἀκράδαντοι μένειεν παρὰ τῷ ἑαυτοῖς συστήματι, ἂν δὲ ἁδρότερον τὸ σακκίον αὐτοῖς φανῇ Γοργόνα Περσεὺς ἐχειρώσατο. Οὗτοι καλοῦσι τὴν ἀναίδειαν ἐλευθερίαν, τὸ δὲ ἀπεχθάνεσθαι παρρησιάζεσθαι, τὸ δὲ λαμβάνειν φιλανθρωπεύεσθαι· οὗτοι ζῶσιν ἀπὸ συκοφαντιῶν, ἐνώπιον πάντων φιλοτιμοῦνται τὴν ῥητορικὴν ἐκθέσαι ὡς οἱ δοῦλοι τοὺς ἑαυτῶν κυρίους, οἳ λόγον ἔγκαρπον οὐδένα πώποτ' οὔτ' εἶπον οὔθ' εὗρον, οὔτ' ἐποίησαν, οὐ πανηγύρεις ἐκόσμησαν, οὐ πόλεσι συνεβούλευσαν, οὐ λυπουμένους παρεμυθήσαντο, οὐ στασιάζοντας διήλλαξαν, οὐ προὔτρεψαν νέους, οὐκ ἄλλους οὐδένας, οὐ κόσμον τοῖς λόγοις προὐνοήσαντο. — Περὶ δὲ τὴν ἐχθρικὴν θέσιν τῶν φιλοσόφων κατὰ τῆς σοφιστικῆς στρέφεται, ὡς τὸ ἀκόλουθον ἀποδείκνυσιν, ἅπας ὁ λόγος· οὗτοι λέγει (οἱ φιλόσοφοι δῆλον ὅτι) περικοσμοῦνται τῷ φιλοσοφικῷ ὀνόματι νομίζοντες ὅτι τὸ πᾶν κατώρθωσαν, χωρίς οὔτε τὴν γένεσιν

1) Ἀριστ. Τόμ. Β'. §. 307, 5

2) ἴδ. Baumgart περὶ Ἀριστ. σελ. 29.

αὐτῆς εἰδέναι, οὔτε ἴσασιν ὅτι αὐτή καθ' ἑαυτὴν ἡ λέξις παρὰ τοῖς ἀρχαίοις Ἕλλησι σημαίνει1). Εἶτα ἕπεται συζήτησίς τις περὶ τῆς σχέσεως τῆς ὀνομασίας φιλόσοφος ἢ σοφός καὶ σοφιστής. Ὁ Ἡρόδοτος, λέγει, ἐκάλεσε τὸν Σόλωνα καὶ τὸν Πυθαγόραν, ὁ Ἀνδροτίων τοὺς ἑπτά σοφούς καὶ τὸν Σωκράτην σοφιστιάς. Ὁ Ἰσοκράτης πάλιν καλεῖ σοφιστάς τοὺς περὶ τὴν ἔριν καὶ τοὺς, ὡς ἂν αὐτοί φαῖεν διαλεκτικοὺς ἑαυτόν δὲ φιλόσοφον, ὡς καὶ τοὺς ῥήτορας καὶ τοὺς περὶ τὴν πολιτικὴν ἕξιν ἀναστρεφομένους. Καὶ οὐ καλεῖ Λυσίας τὸν Πλάτωνα καὶ Αἰσχίνην σοφιστάς; τῇ ἀληθείᾳ ἐβούλετο τούτους αἰτιᾶσθαι, ἀλλὰ πῶς ἠδύνατό τις τοὺς ἄλλους καλέσαι; Κατὰ τὴν γνώμην τοῦ Ἀριστείδου σοφιστεία ἐστίν ἔνδειξις πᾶσι κοινῶς προσήκουσα, ἐνῷ φιλοσοφία ἐστί πόθος τις πρὸς φιλοκαλλίαν καὶ ῥητορείαν, καὶ οὐχὶ ὅ τι τις ἐνταῦθα ἐννοεῖ, ἀλλὰ κυρίως κοινή μόρφωσις, ὡς ὁ αὐτός λέγει ἐπὶ λέξει (φιλοκαλλία τις καὶ διατριβή περὶ λόγους καὶ οὐχὶ ὁ νῦν τρόπος οὗτος, ἀλλὰ παιδεία κοινῶς)· οἱ φιλόσοφοι, λέγει, σκώπτοντες οὕτω σκληρῶς ἐκφράζονται, ὡς καὶ οἱ σοφισταί· αὐτός ὁ Πλάτων ἐχρήσατο τῇ λέξει φιλοσοφίᾳ οὕτως ἐν εὐρυτέρᾳ ὡς καὶ ἐν στενωτέρᾳ ἐννοίᾳ, ἐν ᾗ οὗτος μόνον τοὺς περὶ τὰς ἰδέας πραγματευομένους καὶ τῶν σωμάτων ὑπερορῶντας ἐννοεῖ. Τοιούτους φιλοσόφους ἐν τούτοις μόνον τοὺς Πλατωνικούς καὶ Πυθαγορείους ἐν Πλατωνικῇ ἐννοίᾳ, τοὺς δὲ λοιποὺς μᾶλλον φιλοσωμάτους ἢ φιλοσόφους ἠδύνατό τις καλέσαι.

Εἶτα λέγει προσέτι, ὄντως ὁ Πλάτων ἀδιαλείπτως τοὺς σοφιστάς κακῶς λέγει, αἴτιον δὲ τούτου καὶ τῶν πολλῶν αὐτὸν καὶ τὸν κατ' αὐτὸν ὑπερφρονῆσαι· ἔστιν ὅτ' ὅμως καὶ αὐτὸς ὁ Πλάτων ἐχρήσατο τῇ λέξει ἐπὶ καλῇ σημασίᾳ. Ὁ Ἀριστείδης δὲ ἔχει ὑπ' ὄψει χωρίον τι ἐν τῷ Κρατύλῳ §. 403 E, ἐν ᾧ ὁ Πλάτων τὸν Ἅιδην — τέλεον σοφιστὴν — καλεῖ, καὶ ὅπερ κατὰ τὴν γνώμην αὐτοῦ ἧττον ἠδύνατο ἀποδεῖξαι.

Ἐν τῇδε τῇ φαινομενικῇ τοίνυν ἀποδείξει, ὅτι φιλόσοφος καὶ σιφιστὴς ἕν καὶ ταὐτό ἐστι ταυτίζει ἄρα ἐν

1) Ἀριστ. Τμ. Β'. §. 310—311.

πρώτοις τοὺς ἀρχαίους σοφιστάς μετὰ τῶν νέων, καὶ οὕτω δι' ὀλίγων ἐπιτηδείων λέξεων παντάπασιν οὐ μνημονεύει τῆς προτέρας ἀντιθέσεως ἀναπτυχθείσης διὰ τοῦ Σωκράτους καὶ Πλάτωνος· ἐντεῦθεν νομίζει ὅτι πάντως τὴν φοβεράν πάλην τοῦ Σωκράτους κατὰ τοῦ τεχνητοῦ καὶ κατ' ἐπίφασιν φιλοσοφικοῦ λόγου κατασυνέτριψεν. Τούτων οὕτως ἐχόντων ὁ λόγος ἀπ' ἀρχῆς μέχρι τέλους δηλοῖ, ὅτι αὗται αἱ συσωρευμέναι καὶ σφοδραί ἐπιθέσεις, οὐχὶ μόνον ἐναντίον ἐκείνης τῆς τετριμμένης τάξεως τῶν φιλοσόφων ἀπευθύνοντο, καίπερ ἐξωτερικῶς μόνον κατὰ ταύτης ἐπιτευχθέντων, ἀλλὰ καὶ καθ' ἁπάσης τῆς κυρίως φιλοσοφίας, δῆλον ὅτι κατὰ τῶν Πλατωνικῶν, ἐστραμμέναι εἰσίν.

Οἴεται γὰρ Ἀριστείδης, ὅτι ἐν τούτῳ ἀποδείξειεν ἄν, ὅτι ἡ φιλοσοφία οὐκ ἐξικνεῖται περαιτέρω ἢ ὡς παιδεία κοινή· ὡς ὁ αὐτὸς λέγει — κοινή τις παιδεία καὶ διατριβή περὶ λόγους, ἐξησκημένη διαλεκτική. Καὶ ἐν τούτῳ, τούτῳ τῷ τρόπῳ, ἀκριβῶς μετὰ τῆς σοφιστικῆς, ταυτίζει, οὕτως ἐξ ἁπάντων ἐκείνων τῶν ἐγκωμίων, ἃ τῷ Πλάτωνι οὐ δύναται ἀποποιηθῆναι, καὶ ἑαυτόν ἐν τῷ αὐτῷ μέτρῳ ἀξιοῖ· καὶ παρέρχεται μὲν ὅλως ἀποκλείων τὴν τοῦ Πλάτωνος ἰδίαν μέθοδον ἤτοι τὴν ἀληθῆ φιλοσοφίαν οὕτως, ὥστε ἐκλαμβάνειν αὐτὴν πολεμίαν. Τοῦτο γὰρ σύνηθες τῷ Ἀριστείδῃ ἐστί, τὸ συγκαλύψαι ἐγκωμίοις ἐκείνας τὰς ἐπιθέσεις, αἵτινες τὰ μέγιστα ἐπενεργήσειν μέλλουσιν, ἔτι ἅπαξ ἐπέρχεται περὶ τὸ τέλος ἐκείνου τοῦ λόγου εἰς σφοδροτάτην σύγκρουσιν κατὰ τῶν ἀντιπάλων αὐτοῦ καθ' ἥν οὗτοι — οὔτ' ἴσασί τι ἐξ ἐκείνης τῆς παιδείας, ἧς τούτοις οὐδ' ὁτιοῦν μέτεστιν, οὔτε περὶ τῆς ἐν στενωτέρᾳ ἐννοίᾳ ἐννοουμένης φιλοσοφίας. Ἐπάγεται δὲ ὧδε — ἀλλ' ὅμως πρὶν καὶ περὶ αὐτῆς τῆς ἐπωνυμίας ἔχειν εἰπεῖν τι σεμνύνονται καὶ φασί φιλοσοφεῖν καὶ μόνον τὰ ὄντα καὶ τὰ ἐσόμενα γιγνώσκειν, καὶ πάσας ὑφ' ἑαυτῆς καὶ πρὸς αὐτούς εἶναι τὰς τέχνας· οὓς οὐδὲν δεῖ κατ' ὄνομα ἐξετάζειν, ἀλλὰ φορμηδόν ἀφ' ἁμαξῶν ἐκφέρειν ὥσπερ τοὺς Κερκυραίων νεκρούς . . . . Οὐχ ἧττον ὅμως λέγει πολλοῦ δεῖ τῇ φιλοσοφίᾳ αὐτῇ ἐπιθέσθαι.

Καὶ κατωτέρω λέγει — οἶμαι δὲ κἀγὼ συγγενέσθαι τῶν ἐπ᾽ ἐμαυτοῦ φιλοσοφησάντων τοῖς ἀρίστοις καὶ τελεωτάτοις καὶ οὐ πολλῶν ἡττᾶσθαι ταύτῃ θνητῶν καὶ ἐν τροφέων μοίρᾳ γεγόνασί μοι, ὥστε τοῖς οἴκοι πολεμοίην ἂν μᾶλλον ἢ τοῖς φιλοσόφοις. — Οὗτος μάλιστα παρέσχεν ἐκδουλεύσεις τῇ φιλοσοφίᾳ, καθ᾽ ὅσον μόνον κατὰ τῶν ἀναξίων ὀπαδῶν τοῦ Πλάτωνος ἠγωνίσατο. Μεταξὺ αὐτοῦ καὶ Πλάτωνος οὐδείς τοῦ λοιποῦ ἀγὼν καὶ ἔρις ὤφειλεν ὑφίστασθαι περὶ πρωτείων.

Ἡ ἀνωτέρω προενηνεγμένη γνώμη, ὅτι ἡ ἀρχικὴ αἰτία τοῦ Ἀριστείδου κατὰ τῆς φιλοσοφίας ἐστί κυρίως ἰσχυρά ἀποστροφή καὶ οἱονεί μῖσος, ὅπερ ὑπὸ προεσχεδιασμένους ἐπαίνους καλύπτει, τοῦτο εὑρίσκεται ἐν τοῖς λόγοις αὐτοῦ πανταχοῦ ἐπικεκυρωμένον, ἐν οἷς ἐν τῇ κυρίᾳ ὑποθέσει μετὰ τοῦ Πλάτωνος προσποιεῖται ἐνασχοληθείς. Ἐν τῷ περὶ ῥητορικῆς λόγῳ αὐτοῦ ὑπάρχει στερεότυπός τις μηχανορραφία τῶν προτάσεων καὶ παραδειγμάτων τοῦ Πλάτωνος περὶ ῥητορικης, κατὰ παρανενοημένον τρόπον εἰς τὴν φιλοσοφίαν ἀποδιδόμενον, ὅπως διὰ τούτου φαινομενικήν τινά ἐξέλεγξιν ποιήσῃ ἢ ἀντὶ τῆς ἐκεῖ εὑρημένης αἰτίας αὐτίκα πρὸς τὴν προτέραν ἰσχυροτέραν κατὰ τῆς τελευταίας γνώμην ἀποφανθῇ. Οὕτω π. χ. λέγει — εἴ τις τῶν ὑμετέρων τὴν οὕτω καλουμένην φιλοσοφίαν κακῶς ἐβούλετο λέγειν, οὐκ ἂν ἀπ᾽ αὐτοῦ ἔλιπεν ἡ ἀφορμή διὰ τῶν λόγων αὐτοῦ· εἰ οὗτος π. χ. τοῦ Διαγόρου ἐπιλαμβάνηται καὶ τοῦ Ἀναξαγόρου ἢ ἐνιαχοῦ ἑτέρων τινῶν ἐξοχοτήτων ἀπό τοιούτων παραλόγων ἀνθρώπων προγενεστέρων ἢ μεταγενεστέρων, οἵ τὴν ἀνθρωπότητα διέφθειρον περὶ δὲ θεοὺς ἐβλασφήμησαν, οἱ δὲ λόγους ἄλλους τινάς εἶπον, οὓς οὐκ ἄμεινον ἦν ὅλως, οἱ δὲ αὐθαδείας πλέον ἢ φρονήσεως εἰσηνέγκαντο[1]). — Προσέτι δὲ τὸ ἀκόλουθον χωρίον δύναται ἔτι μᾶλλον διασαφηνίσαι τὸ τέλος τοῦ ὑπὲρ τῶν τεττάρων λόγου, εἰ ἀληθῶς μόνον τοὺς ψευδοφιλοσόφους ὑπαινίττεται, — καίτοι εἰ τοσαῦτα Πλάτων ἐπέδειξεν ὑπὲρ τοῦ κολακείαν εἶναι ῥητορικὴν, ὅσα νῦν ἡμεῖς ὑπὲρ παντός τοῦ ἐναντίου δείκνυμεν, οὐκ οἶδ᾽ ὅπως

1) Ἀριστ. Τμ. Β΄. §. 60, 10.

ἄμεινον ἐπιστώσατο τὸν λόγον· εἰ δ' οἴεται παραδειγμάτων φαυλότητι καταισχύνειν αὐτῆς τὴν ἀξίαν, ἐμοί μὲν οὐκ ἔτι τἀπί τούτοις ῥητὰ δύναιτο δ' ἄν τις τὸ τοῦ Ὁμήρου σώζων ἔπος τὸ ὅμοιον ἀνταποδιδούς ὑπολαμβάνειν, τί δαί; οὐχὶ καὶ αἱ τιτθαί τοῖς παιδαρίοις ταῦτα λέγουσιν καὶ οἱ γραμματισταί καὶ οἱ παιδαγωγοί; ὑπερεμπίμπλασθαί σε οὐ χρή καὶ βαδίζει ἐν τοῖς ὁδοῖς ὅτι χρή κοσμίως καὶ τοῖς πρεσβυτέροις ὑπανίστασθαι καὶ τοὺς γονέας φιλεῖν καὶ μή θορυβεῖν μηδὲ κυβεύειν μηδ' ἰσχύειν, εἰ βούλει, τώ πόδε ἐπαλλάξ· ἀλλ' ὅμως οὐ διὰ ταῦτα μέγα φρονοῦσιν αἱ τιτθαί οὐδὲ ἀξιοῦσι περὶ τῶν φιλοσόφων εἶναι. ὥστε ἦν ἄν πλεῖστον θῆς ἀξία δυοῖν ἴσως ἢ τριῶν μνῶν. Οἱ δὲ παιδαγωγοί καὶ ὑποβαρβαρίζοντες ταῦτα νουθετοῦσιν οἱ πολλοί καὶ φέρουσιν ἐνίοτε ἀντὶ παιδαγωγῶν θυρωροί γιγνόμενοι τοῖς αὐτῶν δεσπόταις, ὁπόταν καταλύσωσι τὴν τέχνην. Καὶ οὐ μά Δία οὐκ εἰ τῶν ῥητόρων ἔλαττον ἕξουσι δυσκολαίνουσιν, οὐδέ γε ἐκεῖνο λέγουσι τὶ δὴ ποτέ αὐτοί μὲν ὁσημέραι βοῶντες καὶ κονδυλίζοντές γε ἐνίοτε καὶ οὐχ ὅσον ἀφοσιώσασθαι νουθετοῦντες, οὐκ ἀνεσπάκασι τὰς ὀφρῦς οὐδ' εἰς τὴν προεδρίαν ὠθίζονται, οὐδὲ τὴν τοῦ τὰ μέγιστα τῶν ἀνθρωπείων πραγμάτων ἐπίστασθαι δόξαν οὐδέπω καὶ νῦν εἰλήφασιν. Οἱ δὲ φιλόσοφοι σεμνύνονται καὶ γαυριῶσι καὶ πρωτείων ἀντιποιοῦνται καὶ μεγάλους αὐτοὺς ἄγουσι καὶ ταῦτα λέγοντες ἐν αὐτοῖς καὶ οὔτε τοῖς ῥήτορσιν ὑπείκουσιν οὔτε τοῖς παιδαγωγοῖς ἴσον οἴονται δεῖν φρονεῖν[1]). — Καὶ μάλιστα προστίθησιν, ὅτι οὗτος οὐχ οὕτως ἐκλαμβάνει, ἀλλ' ἵνα τὴν μομφὴν τοῦ Πλάτωνος κατὰ τῆς ῥητορικῆς μᾶλλον ἐξασθενώσῃ. Ἐντεῦθεν κατανοεῖται ἡ εὐχαρίστησις δι' ἧς ὁ Ἀριστείδης ἑκάστην εὐκαιρίαν ἐπωφελεῖται, ἵνα κατὰ τῆς φιλοσοφίας ἐκφρασθῇ. Χωρία, ὡς τὰ ἀκόλουθα, ἐν οἷς οὗτος διττήν τινὰ διαλεκτικὴν διακρίνει τῶν φιλοσόφων καὶ δή καὶ τῶν ῥητόρων, εἰσί παμπληθῆ, ὡς π. χ. λέγει — διαλεκτική διττή .... ἡ μὲν οἵα παρακρούεσθαι καὶ ἐξαπατᾶν καὶ χρόνοις τρίβειν καὶ εἰς ὑγιές οὐδέν πάντη τὴν γλῶτταν ἄγουσα, ψυχρά τις καὶ ἀγεννής καὶ

---

1) Ἀριστ. Τόμ. Β'. §. 95.

κακοῦργος καὶ ἀνελεύθερος, ἡ δὲ οἷα χαρίεντας παρέχεσθαι καὶ δεξιούς. κτλ.[1]), — *Περὶ τοῦ διαλεκτικοῦ τρόπου καὶ μεθοδικοῦ δι' οὗ οἱ φιλόσοφοι ἐριστικῶς διαπραγματεύονται, καὶ ὅστις αὐτῷ μισητός ἐστίν, ἀποφαίνεται οὗτος ἐν τῇ ἀρχῇ τοῦ 42ου λόγου αὐτοῦ, περὶ ὁμονοίας*[2]). *Ἐνταῦθα παραβάλλει ὁ Ἀριστείδης τούτους μετὰ τῶν ξηρῶν διδασκαλικῶν ῥητόρων ἐξ ὧν οἱ μὲν ἀείποτε ἐν ταῖς διατριβαῖς καὶ ἐξασκήσεσι μένουσι, χωρίς ποτε εἰς πραγματικοὺς λόγους ἀφικέσθαι, οἱ δέ περιφρονοῦσι τούτους οὐδέν ὅμως οὐδαμῶς πράττουσιν ὠφέλιμον, ἐνῷ οὗτοι μετά παντός ἐρίζειν ἐπιχειροῦσι καὶ ἐναντίον ἑκάστου λαύρως ἐπιτίθενται καὶ προσβάλλουσιν, ὅς ἂν μετ' αὐτῶν ἀναμίγνυται, χωρίς τούτους οὔτε ἄλλους τι ἐκ τούτου ἐπωφελεῖσθαι.*

Οὐκ ἀναγκαῖον, οἶμαι, ἀκολουθῆσαί τινα τῇ ἐπιθετικῇ στάσει τοῦ Ἀριστείδου κατὰ τοῦ Γοργίου τοῦ Πλάτωνος ἐν πάσῃ τῇ γριφώδει αὐτῆς ἀποπλανήσει· ἑκάστη γὰρ σελίς ἀποδείκνυσιν, ὅτι τῷ συγγραφεῖ ἡ θεωρητική φιλοσοφία τοῦ Πλάτωνος ἀποκεκλεισμένη ἐστίν· τὸ πᾶν συνελόντι εἰπεῖν κενή καὶ ἀπατηλὴ τις λογομαχία. Οὐδαμοῦ ἐστιν ἡ σπουδή καταφανής, ὅτι ἡ βάσις τῆς Πλατωνικῆς διδασκαλίας ἐν συναφείᾳ συναρμολογεῖται.

Τὸ φύρδειν τὰ ὀνόματα καὶ πάντα ἄνω καὶ κάτω ποιεῖν ἢ κυκλεῖν καθ' ὃ οὗτος συνεχῶς τὸν Πλάτωνα αἰτιᾶται, ἐστὶ κυρίως ὁ κατ' ἐξοχήν θρίαμβος αὐτοῦ. Λίαν δὲ σαφῶς ἐκ τούτου ἐμφαίνεται ὅτι κατ' ἀπομίμησιν τῶν Πλατωνικῶν διαλόγων, ἐν διαλεκτικῇ ἀποδείξει προβαίνει, ἵνα τὸν Πλάτωνα ἔκ τινων λέξεων ἐξελέγξῃ[3]), *οὕτως διισχυρίζεται ὅτι ἅμα μὲν ἡ ῥητορική οὐδέν τὸ κοινόν μετὰ τῆς τέχνης ἔχει, ἅμα δὲ ὅτι αὕτη πάντοτε πρὸς ὡρισμένον τινὰ σκοπόν ἀποβλέπει, καὶ ὑπὸ τὴν ἔποψιν ταύτην τὸν λόγον συντίθησιν — ὅτι στοχάζεται καὶ προάγει τοὺς λόγους οὕτως ὅπως στοχάζεται — ἐν τῇ ἀποδείξει ὅμως ὅτι πρὸς τὸ στοχάζεσθαι ὁ λόγος προσήκει, ἀφικνεῖται εἰς τὸ*

---

1) *Ἀριστ.* **Τόμ.** *Β'*. §. 112.
2) *Ἀριστ.* **Τόμ.** *Α'*. §. 517.
3) *Ἀριστ.* **Τόμ.** *Β'*. §. 34.

συμπέρασμα, ὅτι ἐκεῖνοι οἵτινες κατὰ τὸ στοχάζεσθαι ἁμαρτάνουσι κυρίως οὐ στοχάζονται, τὸ ἐπιτυγχάνειν καὶ στοχάζεσθαι ἕν καὶ τὸ αὐτὸ ἐστίν. — ὡς οἱ ἀποτυγχάνοντες ἀρχὴν οὐδὲ στοχάζονται, ἀλλ' αὐτὸ τοὐναντίον τῷ στοχάζεσθαι ποιοῦσι. τὸ γὰρ στοχάζεσθαι τοῦτ' ἐστί τυχεῖν τοῦ πράγματος. Οὐκοῦν οὐχ ᾧ στοχάζεται ἁμαρτάνει τις ἀλλ' ᾧ διήμαρτεν οὐκ ἐστοχάσατο.

Ἡ ὅλη ὁμοιότης τῆς πολυμόχθου αὐτοῦ ἐπεξεργασίας μετὰ τῶν πλατωνικῶν διαλόγων συνίσταται ἐν τούτῳ, ὅτι μόνον τὴν ἐξωτερικὴν μορφήν τοῦ λόγου ἐζήτησεν ἀπομιμήσασθαι, ὡς τοῦτ' αὐτὸ ἀκριβῶς καὶ μετὰ τοῦ Δημοσθένους συμβαίνει. Ἐνιαχοῦ ἐπιδίδεται εἰς τοὺς ἀλληγορικοὺς μύθους, εἰς παραδείγματα τοῦ πρακτικοῦ καὶ κονοῦ βίου, ὡς ἰατρικὴν καὶ κυβερνητικήν, συνεχῶς διακόπτει τὸν λόγον ἐρωτῶν τί φῄς; τί οὐκ ἀποκρίνει; καὶ παρεμβάλλει συχνότατα τὸ, ὦ θαυμάσιε, ὦ γενναῖε, ὦ μακάριε, καὶ ὦ δαιμόνιε. Ἐν τούτοις τὰ χωρία, ἐν οἷς οὗτος καθόλου ἐν τῇ μορφῇ τοῦ διαλόγου περιέρχεται, εἰσὶ σχετικῶς ὀλίγα. Λίαν ὅμως ταχέως ἐπανέρχεται εἰς τὸ ἴδιον ἑαυτοῦ στοιχεῖον, ἐν ᾧ ἐκ τῆς μομφῆς τοῦ ἀντιπάλου ἄγεται εἰς τὴν παρόρμησιν ἐγκωμιαστικῶν παρεκβάσεων πρὸς καλλωπισμόν τῶν ὁποίων ἀναπόσπαστος ἀπὸ τοῦ Ὁμήρου καὶ Ἡσιόδου ἐστίν. Τῆς ἀρχαιοπρεποῦς ταύτης ἀπεικονίσεως ἕνεκεν προκύπτει δυσχέρειά τις πρὸς ταξινόμησιν τούτου τοῦ εἴδους τῶν λόγων· ὡς π. χ. ὁ λόγος ὑπέρ τῶν τεσσάρων, ὅν ὁ Σώπατρος[1]) μετ' ἐπισταμένης ἐπισκοπήσεως κατέλεξεν αὐτόν εἰς τὸ πανηγυρικόν εἶδος.

Ἅπαντες οἱ πλατωνικοί λόγοι, περὶ ῥητορικῆς Α'. καὶ Β'. ὁ ὑπὲρ τῶν τεσσάρων καὶ ὁ πρὸς Καπίτωνα, οἵτινες ἐν τῇ Δινδορφείῳ ἐκδόσει ὑπέρ τὰς 400 σελίδας κατέχουσιν, εἰσὶν ὄντως ἐγκωμιαστικοί λόγοι εἰς τὴν ῥητορικήν. Ἡ προσπεποιημένη ὅμως ἐμφάνεια τῆς κριτικῆς ἀκριβείας τῶν ἀντικειμένων καὶ τῆς δικαίας ἐκτιμήσεως τῶν πραγμάτων, ἐστί μόνον ῥητορικὴ μηχανορραφία, ἵνα

---

1) Ἴδ. προλγ. εἰς τὴν ὑπόθ. τῶν τεσσάρων.

τὴν ἐξεικόνισιν παραλλαγῶν καὶ ἡδυσμάτων τῷ λόγῳ παρέχῃ. Ἀλλὰ πόσον τὰς πραγματικὰς ἀληθείας σοφιστικῶς διέστρεφεν καὶ ὅλως ἐναντίως παρίσια, πόσον ἐπιπολαίως τὰς ὑγιεῖς φιλοσοφικάς ἰδέας τοῦ Πλάτωνος πρὸς τὸν ἑαυτοῦ σκοπόν ἐξελάμβανε καὶ ἡρμήνευε, κατάδηλον ἤδη ἐστίν ἐκ τῆς ὅλης ἐκείνης μακρᾶς καταπολεμήσεως, ἣν ἡ κοῦφος σοφιστική τῆς 2ας ἑκατονταετηρίδος κατὰ τῆς ἀληθοῦς φιλοσοφίας, ὅπως ἐπιδείξηται τὸ κεκρυμμένον ἐν αὐτῇ τάλαντον τῆς κούφου καὶ ματαίας σοφιστικῆς εὐγλωττίας ἐξήγειρεν. Προσέτι ἓν ἔτι χωρίον παραθέτομεν ἐν ᾧ διισχυρίζεται, ὅτι ἡ ὑπεροχὴ τῆς ῥητορικῆς ἀπὸ τῆς φιλοσοφίας καὶ ἐν ἄλλοις πολλοῖς ἐπιβεβαιοῦται, καὶ δὴ καὶ διὰ τοῦ ἰσχυρισμοῦ, ὅτι ἡ μὲν φιλοσοφία μόνον τό μή ἀδικεῖν κωλύει ἡ δὲ ῥητορική καὶ τὸ μή ἀδικεῖσθαι, — ὁ δὲ, ῥήτωρ, τὴν τοῦ μή ἀδικεῖσθαι φιλακὴν ἔχων ἅμα καὶ τὸ ἀδικεῖν που κωλύει· ὥσπερ γὰρ ἅμα τε ἠδίκηται καὶ ἠδίκηκεν ἕτερος, οὕτως ὁ τὴν τοῦ μή ἀδικεῖσθαι δύναμιν ἔχων τὴν αὐτὴν τοῦ μή ἐᾶν ἀδικεῖν ἔχει· ὥστε εἰ τὸ μὲν μή ἀδικεῖσθαι τῆς ῥητορικῆς τίθησι τὸ δὲ μή ἀδικεῖν τῆς φιλοσοφίας, τοσούτῳ χεῖρον φιλοσοφία ῥητορικῆς, ὅσῳ τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν[1]).

Γ΄. Περὶ ῥητορικῆς.

Ὅλως ἐναντίαν ἰδέαν ὁ Ἀριστείδης ἔχει περὶ ῥητορικῆς ἤ περὶ φιλοσοφίας. Ἡ ῥητορική λέγει ἐφευρέθη πρὸς ὑπεράσπισιν τῶν ἀδυνάτων κατὰ τῆς βίας καὶ ἀπόδοσιν τῶν δικαίων, ὡς ὁ αὐτός λέγει — ὡς φυλακτήριον δικαιοσύνης καὶ σύνδεσμος τοῖς ἀνθρώποις[2]). — Ἐξ αὐτῆς παρήχθησαν οἱ νόμοι, ἡ νομοθετική καὶ δικαστική εἰσιν ὑποτεταγμέναι τῇ ῥητορικῇ, ἥτις ἱερά καὶ σεβαστή οὖσα προηγεῖται τῆς δικαιοσύνης. Τεκμήριον καθαρᾶς σοφιστικῆς ἐστι τὸ ἀκόλουθον χωρίον, ὅπερ ἕνεκα τοῦ

1) Ἀριστ. Τόμ. Β΄. §. 62.
2) Ἀριστ. Τόμ. Β΄. §. 48—55.

ὑπερόγκου τῶν περιπεπλεγμένων προτάσεων δυσνόητον ὂν ὑπὸ Ῥαϊσκίου ὡς διεφθαρμένον χωρίον ἡρμηνεύθη, — ἀλλ' ἔστι μιᾶς ὡσπερεί μοίρας καὶ φύσεως οἱ νόμοι, ἡ δίκη, οἱ νόμοι, τριῶν δ' οὐσῶν τούτων δυνάμεων, ὅπερ λέγων ἐξέβην, ἁπάσας τὰς χώρας ἡ ῥητορική μόνη καταλαμβάνει. Προτέρα γὰρ δ' οὖσα τῆς νομοθετικῆς κατὰ τὴν ἐκείνης χρείαν, προτέρα δ' αὖ καὶ τῆς δικαστικῆς, ὅτε κἀκείνης ἔδει, λαβοῦσα μέσην πρότερον τὴν νομοθετικὴν εἶτ' αὖ τὴν δικαστικὴν ὡσαύτως διχόθεν περιέχουσα πρώτη καὶ μέση καὶ τελευταία γίγνεται, ὁμοῦ μὲν αὐτὴν μέσην, ὁμοῦ δ' ἄμφω μέσας αὑτῆς καθιστᾶσα, ὡς μάλιστ' ἔμελλον ἅπασαι συμμένειν, ἀντὶ συνδέσμου τῇ ῥητορικῇ χρώμεναι[1]). — Αὕτη ἐστίν ἐπίσης ἡ ἰδέα τῆς ἀρετῆς καὶ τὰ ταύτῃ ἐπακόλουθα, ἅτινα ὡσαύτως περιλαμβάνει δῆλα δή φρόνησιν, σωφροσύνην, δικαιοσύνην καὶ ἀνδρείαν, καὶ κατωτέρω λέγει — οὐ γὰρ εἰ ῥᾴδιον ἤ μή τῷ ὄντι γενέσθαι ῥήτορα σκοπεῖν προὔκειτο, ἐπεί τοῦτό γε καὶ ἡμεῖς, εἰ βούλει, μαρτυροῦμεν, κἂν εἰ τὴν Στέντορος φωνὴν κτησαίμεθα, φθεγξαίμεθ' ἂν ὡς οὐ ῥᾴδιον, κἂν ὁ Νεῖλος, ὦ μακάριε, τοῖς ἑπτά στόμασιν εἰ λάβοι φωνήν ὥσπερ ὁ Σκάμανδρος κατὰ τὸν Ὅμηρον, κτλ.[2]).

Καὶ πάλιν — ἔστιν ἄρα καὶ ῥητορικῆς ἔργον καὶ φρονεῖν ὀρθῶς καὶ μή μόνον αὐτόν ἃ δεῖ πράττοντα, ἀλλά καὶ ἑτέροις πείθοντα ἃ δεῖ πράττειν παρέχεσθαι, καὶ ὅλως εἶναι βασιλικόν. Οὐκ ἀποστατεῖ δὲ οὐδὲ ἡ παροιμία τούτων ἡ λέγουσα, οἷος ὁ τρόπος, τοιοῦτον εἶναι καὶ τὸν λόγον· καὶ πάλιν τὸ ἕτερον ὡσαύτως[3]). — Ἡ ἐνέργεια τῆς ῥητορικῆς οὐ μόνον ἐν δικαστικοῖς ἀγῶσιν ἀφικνεῖται καὶ πολιτικαῖς ὑποθέσεσιν, ἀλλὰ καὶ ἐν πανηγύρεσι, — καὶ τὰ τῆς εἰρήνης χαρίεντα τοῦ πρὸ αὐτῆς κόσμου προσδεῖται, καὶ νή Δία αἵτε θεῶν τιμαί καὶ ἡρώων καὶ ὅσαι τοῖς ἀγαθοῖς τῶν ἀνδρῶν ὀφείλονται δικαίως εὐφημίαι[4]). — Ἡ ἰδέα τοίνυν τοῦ Ἀριστείδου περὶ ῥητορικῆς ἐστιν ἐκ

---

1) Ἀριστ. Τομ. Β'. §. 53, 17—54.
2) Ἀριστ Τομ Β'. §. 54, 10.
3) Ἀριστ Τομ. Β'. §. 88, 2.
4) Ἀριστ. Τομ. Β'. §. 99, 13.

διαμέτρου ἄντικρυς τῆς πλατωνικῆς, καίπερ προσπαθοῦντος πάσῃ σοφιστικῇ τέχνῃ ἀποδεῖξαι, ὅτι τῷ Πλάτωνι οὐσιωδῶς συμφωνεῖ, ἢ πολὺ μᾶλλον τὴν σχέσιν διαστρέφοντος, διισχυρίζεται, ὅτι ὁ Πλάτων ἑαυτῷ συμφωνεῖ· συνελόντι εἰπεῖν, ἀποφαίνεται ὁ Ἀριστείδης, ὅτι κάλλιστον ῥήτορα εἶναι νομίζειν τὸν ἄριστιν ἄνδρα· χωρίς ταύτας ἢ ὁμοίας ἀξιώσεις μετὰ τῶν κατ' ἐξοχήν ἰδεῶν αὐτοῦ περὶ ῥητορικῆς ἐν λογιστικῇ ἑνότητι ἱστάναι[1]). — Ὁ Πλάτων ἀπαιτεῖ ἐν πρώτοις ἀπὸ τοῦ ῥήτορος σαφήνειαν· καὶ ἀσφαλεῖς γνώσεις τῶν ἐννοιῶν, ἅς διὰ τῆς φιλοσοφίας δεῖ κτᾶσθαι, καὶ ἐμπειρίαν· ἡ ῥητορική εὐγλωττία οὐσιωδῶς πηγάζει ἐκ τούτου, καὶ οὐ προκύπτει ἐξ αὐτομάτου ἐξωτερικῆς τέχνης. Ὁ Ἀριστείδης ὅμως οὐ παίζει καλῶν τὴν ῥητορικὴν τὸ ἄκρον ἄωτον, ἔχουσαν ἀρχήν μέσον καὶ τέλος, καὶ οὕτως τὸ οὐσιῶδες τῆς σοφιστικῆς ἄριστα ἐδήλωσεν· αὐτὴν θεωρεῖ τὸ ἀρχικόν σημεῖον, δῆλα δή τὴν σοφιστείαν, τάς λέξεις πρὸς ἀλλήλας ἁρμοδίως τιθέναι καὶ ἐκ πομπωδῶν λέξεων ὅλον οἰκοδόμημα κατὰ κανόνας οἰκοδομεῖν, οἵτινες ἐκ τῆς ἐξωτερικῆς χροιᾶς τῶν τύπων συντεθειμένοι εἰσίν.

Ταύτην τὴν τυπικὴν πορείαν μεταχειρίζεται ὁ Ἀριστείδης ἐν πᾶσιν αὐτοῦ τοῖς συγγράμμασι διά τεχνικῆς ἑτοιμότητος καὶ ποικιλίας ῥητορικῶν σχημάτων λέξεων καὶ παραστάσεων ἐν κανονικῷ ῥυθμῷ συντεθειμένων. Ἡ τυπικὴ αὕτη μέθοδος, οὕτως ἀποφαίνονται οἱ σοφισταί, ἔδει πανταχοῦ τὰ ἁρμόττοντα ῥητορικά σχήματα καὶ τὸ ἀκριβές περιεχόμενον τῶν προσηκουσῶν ἐννοιῶν φέρειν. Τοιαύτη τις μέθοδος δύναται, τῆς ὕλης ὑπαρχούσης, πρὸς στιγμήν τὴν φαινομενικήν ἀλήθειαν ἐξεγεῖραι, ἐπὶ τοσοῦτον μᾶλλον, καθ' ὅσον ἀδύνατον τοῦτο τῇ ἀληθείᾳ, ταύτῃ τῇ τυπικῇ μεθόδῳ ἀκολουθῆσαι, ὡς αὕτη θεωρητικῶς φαίνεται. Ὁ Ἀριστείδης ἔκλινεν εἰς ὅ τι ὑπῆρξεν ἀντικείμενον τῆς Ἑλληνικῆς μορφώσεως τοῦ κοινῶς γνωστοῦ ὀνόματος τοῦ καλουμένου — παιδεία κοινῶς — Οὗτος ἐκέκτητο διὰ τῆς σπουδῆς ἀκριβεστέρας ἰδέας ἢ αὐτοί

---

3) Ἀριστ. Τόμ. Β'. §. 104.

οἱ πεπαιδευμένοι ἀκροαταί. Ὅθεν ὁ Ἀριστείδης οἶδε ῥητορεύειν περὶ γεγονότων ἀναφερομένων εἰς τὴν λαμπράν περίοδον τῆς ἀρχαίας ἱστορίας, εἰς τὴν οὐρανοβάμονα τῆς τέχνης ἀκμήν, εἰς τὰς ἐξοχωτέρας τῶν ἐπιστημῶν καὶ ἔτι μᾶλλον ἐφοίτα εἰς τὰ ἀξιοπαρατήρητα μνημεῖα τοῦ μεγάλου παρελθόντος, καὶ ἐκ τῆς αὐτοψίας ταύτης ἐκτῶντο οἱ λόγοι αὐτοῦ μεγάλης ἐκτιμήσεως καὶ πλείονος ἐξεγερτικότητος, πλὴν τῆς περιποθήτου ἀφορμῆς πρὸς παρεκβάσεις φυσικῶν ἀποικονίσεων. Προσέτι δὲ ἔδιδεν ἡ σοφιστική τέχνη αὐτοῦ παρόρμησίν τινα, ἥτις ἔν τισι περαιτέρω ἠδύνατο ἐπενεργεῖν, καὶ ἐπὶ τοσοῦτον ἐνίοτε, ὥστε τινά παντάπασιν ἀποποιεῖσθαι τὴν σοφιστικήν. Τοῦτο ὁπωσδήποτε ἦν πρόοδός τις καὶ ἐπαύξησις βελτιώσεως καθ᾽ ὅσον οἱ ἀρχαῖοι ἐμελετῶντο, ἀλλ᾽ ἡ σοφιστική μέθοδος οὐκ ἠδύνατο ταύτην ἀναπτύξαι, αὕτη ἦν ἀνεπιτήδειος πρὸς δημιουργίαν· αὕτη ἔμεινεν πανταχοῦ εἰς τὴν ἐξωτερικήν διάγνωσιν τῶν ἀντικειμένων, αὕτη οὐδαμοῦ ἠδύνατο πρός τινα συνεκτικήν καὶ διεισδύουσαν ἔννοιαν ἀφικέσθαι· ἄνευ ἰσχύος καὶ βάθους τῶν ἐννοιῶν συνάπτει αὕτη τὰς ἀποκτηθείσας ἐπιπολαίους ἰδέας πρὸς ἀέναον ἐναλλαγήν, ἀλλ᾽ ἀείποτε πρὸς ματαίους συνδυασμούς. Δύναταί τις δισχυρίσασθαι ἄνευ ὑπερβολῆς, ὅτι ἐν τοῖς 55 διασωθεῖσι λόγοις τοῦ Ἀριστείδου ουδεμία αὐτοτελής ἔννοια ἀνεπτύχθη. Οὗτος διεπραγματεύετο τὰ διάφορα θέματα σπανίως ὅλως διεστραμμένως εἰ μή ἔλεγε περὶ τῶν θρησκευτικῶν καὶ εἰδικῶν αὐτοῦ ῥητορικῶν παρατηρήσεων, ἀλλ᾽ οὐδέποτε ὅμως καὶ διδακτικῶς, ὥστε δύναταί τις περὶ τούτου μετὰ βεβαιότητος ἀναγνωρίσαι τὰ φρονήματα καὶ τὰς κρίσεις αὐτοῦ περὶ παρελθόντος. Ὑπάρχουσι περιγραφαί τόπων καὶ συμβεβηκότων, ἅς ἠδύνατό τις διαφερόντως καινοπρεπεῖς ἐννοίας καλέσαι, εἰ μή αὗται ὡς ἐπὶ τὸ πολὺ εὑρεῖαι καὶ πεπλασμέναι ἦσαν. Κατ᾽ ἐξοχήν δὲ προτιμᾷ ὁ Ἀριστείδης ἠθικάς σκέψεις καὶ γενικάς παρατηρήσεις, ὡς ἐν τῷ λόγῳ περὶ τοῦ παραφθέγματος περὶ τῆς δικαιολογίας τοῦ γνῶθι σαυτὸν ἐν τῷ ὑπὲρ τῶν τεσσάρων, περὶ τῆς ἐξαρτήσεως τῆς ἀνθρωπίνης είμαρμένης, περὶ τῆς ἀξίας τῆς ὁμονοίας, περὶ εὐχαριστίας τῆς ὑγιείας εἰς τὸν Σάραπιν κτλ. Οὐδείς

δύναται ταύτας τὰς προκηρύξεις ἀπὸ τοῦ κοινοῦ φρονήματος ἀπαρνήσασθαι· αὗται ἐποίουν ἂν ἐνιαχοῦ μάλιστα τό εὐάρεστον ἀποτέλεσμα εἰ μή, ἡ ἔμφασις καὶ διεξοδικότης μεθ᾽ ὧν ἐπικεκυρωμέναι ἦσαν, μετὰ τῆς ἐννοίας τοῦ ἐμπεριεχομένου ἐν τόσῳ μεγάλῃ ἀντιθέσαι ἦσαν. Κατὰ τὸν Baumgart[1]) ἠδύνατό τις πρὸς ὁμοίαν κρίσιν ἀφικέσθαι τῷ Welcker[2]) ἀγόμενος ἐκ πολλῶν χωρίων ἐν οἷς ὁ Ἀριστείδης διὰ τῆς αὐτοῦ ἐπιμελοῦς καὶ ἀμερολήπτου μετριοφροσύνης περὶ τοῦ ἑαυτοῦ ἐπιστημονικοῦ ἐνθουσιασμοῦ ὁμιλεῖ, ὡς π. χ. περὶ τὸ τέλος τοῦ περὶ ῥητορ. λόγου[3]) πρὸς τοὺς αἰτιωμένους[4]), κατὰ τῶν ἐξορχουμένων περὶ τὸ τέλος τοῦ περὶ Παραφθέγματος καθ᾽ ὅλου κτλ. ἢ ἐάν οὗτος τοῖς ἄλλοις οὕτω προθύμως ἐκτιμήσεις ἀποδίδῃ τὴν ἀξίαν τῆς σπουδῆς τόσον καλῶς γινώσκει ἐκτιμᾶν, ὡς ἐν τῷ ἐπικηδείῳ λόγῳ εἰς τὸν Ἀλέξανδρον τὸν Κοτυαῖον καὶ εἰς τὸν Ἐτεονέα ἐν τῷ γενεθλιακῷ εἰς τὸν Ἀπελᾶν, ἀλλὰ περὶ εὐμενοῦς πρᾴου καὶ εὐγενοῦς χαρακτῆρος τοῦ Ἀριστείδου περὶ οὗ ὁ Welcker ὁμιλεῖ, προσέτι δὲ περὶ τῆς σπουδαιότητος καὶ τῆς ἠθικῆς αὐτοῦ μορφώσεως, ταῦτα πάντα ἐκλαμβάνει ὡς οὐσιώδεις ἀληθείας ἐξ ἐκείνων τῶν πλαστῶν ἐκδηλώσεων τοῦ Ἀριστείδου ἐξαγομένας. Ὅπερ ὅμως, λέγει ὁ Baumgart, τὴν εὐμένειαν αὐτοῦ καὶ τὸν εὐγενῆ χαρακτῆρα ἀφορᾷ δυσκολον ἀποβαίνει τὴν ἀμφιβολίαν τῆς ἑαυτοῦ ὁμολογίας ἑδραιῶσαι. Προσέτι δὲ ὑπάρχουσιν ἰσχυραί ὑπερβολαί καὶ κομπώδεις παραστάσεις, ὧν ὁ Ἀριστείδης ἔν τισι χωρίοις ἰδίως χρῆσιν ἐποιήσατο καὶ αἵτινες οὐκ εἰσίν καθ᾽ ἑαυτάς τεκμήριον ἀληθοῦς ἐννοίας, ἔτι δὲ ἧττον κλίσις πρὸς ἀχαλίνωτον κολακείαν (παραβλ. τοὺς τρεῖς λόγους πρὸς Ἀλέξανδρον, Ἀπελλᾶν καὶ Ἐτεονέα). Προσέτι δὲ σαφῶς καταφαίνεται ἐν τοῖσδε τοῖς λόγοις, ὅτι ἐμμέσως ἅπας ὁ κεχαρισμένος ἔπαινος ἐπὶ τὸν ὁμιλητήν αὐτόν ἀντανακλᾷ, ἐπειδὴ ὅτε Ἐτεονεὺς καὶ ὁ Ἀπελλᾶς ἑαυτοῦ μαθηταί ἐτύγχανον, ὁ δὲ Ἀλέξαν-

---

1) Baumgart εἰς Αἴλ. Ἀριστ.
2) Welcker, klein. Schriften S. 112.
3) Ἀριστ. Τόμ. Β΄. §. 108.
4) Ἀριστ. Τόμ. Β΄. §. 421.

δρος διδάσκαλος αὐτοῦ ἦν, οὗ ὑπερβαλλόντως εὐνοϊκὴ κρίσις περὶ τῶν ἐκδουλεύσεων τοῦ ὁμιλοῦντος περί τὸ τέλος τοῦ λόγου ὑπάρχει. Ἰδίως δὲ σαφῶς ἐκδηλοῦται περὶ τοῦ χαρακτῆρος αὐτοῦ ἐν τῷ ἀκολούθῳ χωρίῳ, ἐν ᾧ οὗτος λέγει — ἐν μὲν γάρ τῇ ὁμονοίᾳ καὶ ἑτέροις ἐστίν ἐπαινέσαι καὶ τὰ ἑαυτῶν ἀκούειν ἐπαινούμενα, ἐν δὲ τῷ διαστῆναι κακῶς ἑτέροις εἰπόντας ἀντακοῦσαι κακῶς αὐτοὺς καὶ ἅ μή προσῆκεν, ὥσθ᾽ ὅσῳ τις μᾶλλον ἐπαινεῖσθαι βούλεται καὶ τῶν ὑπαρχόντων ἀπολαύειν πλεονεκτημάτων τοσούτῳ μᾶλλον τῶν ἴσων ὑπαρκτέον καὶ ταῖς ἐπιεικείαις χρηστέον[1]).

Ἂν δὲ τόσον ἐννοϊκῶς ὁ Welcker, περὶ σπουδαιότητος καὶ ἠθικῆς μορφώσεως τοῦ Ἀριστείδου ὁμιλῇ, τοῦτό ἐστιν, κατὰ τὸν Baumgart, βεβαία παρανόησις ἐκφράσεών τινων ἐν χαρακτῆρι, ᾧτινι βάσις ἐστίν τὸ λατρεύειν τὴν ἐπίφασιν ἀντὶ τοῦ οὐσιώδους καὶ ᾧτινι πάντα τὰ ἐπακόλουθα καὶ πᾶσα ἰσχύς ἐν τῷδε συνίσταται, δῆλον ὅτι τὴν τέχνην, πλάνην ἀντὶ ἀληθείας μεταχειρίζεσθαι, εἰς τὸ ζενίθ αὐτῆς ἐνεγκεῖν.

---

1) Ἀριστ. Τόμ. Α΄. §. 524.

Πῶς ὁ Ἀριστείδης μιμεῖται Δημοσθένην.

Ὁ Ἀριστείδης, ἐκ τῶν ὅσων μέχρι τοῦδε εἴρηνται παρέλαβεν ἐκ τῶν τοῦ Δημοσθένους λόγων μόνον τὴν ἐξωτερικὴν χροιάν τοῦ λόγου, δῆλον ὅτι τοὺς ἐξωτερικοὺς τύπους, ἅπαντα τὰ ῥητορικὰ σχήματα ὅσα διὰ τὸν σκοπόν πρὸς σοφιστείαν ἥρμοττον καὶ ἅτινα οὗτος ἐν ὑψηλῷ βαθμῷ παρὰ τῷ Δημοσθένει εὗρεν ἀνεπτυγμένα.

Ὁ Ἀριστείδης ἐσπούδασεν ἄριστα τοὺς ἐξωτερικοὺς τύπους τῶν Δημοσθενείων λόγων, οὓς πολλάκις ἐδοκίμασεν ἀπομιμήσασθαι καὶ δι' ὧν κανόνας τῆς ῥητορικῆς αὐτοῦ τέχνης τοῖς μεταγενεστέροις κατέλιπεν, χωρίς ὅμως διά τούτου τοῦ μέσου σπουδαίαν ῥυθμικὴν καὶ ἀγχίνουν προσοχὴν ἀποδεῖξαι[1]*. Ὑπῆρξεν ἐν τούτοις ὅλος αὐτοῦ ὁ βίος ἐν τῷ συγγράφειν ἡ ἐφαρμογή τῆς σμικρολογίας καὶ ἡ πεποίθησις, ἥτις δι' ἀσήμων μέσων τῶν Ἀττικιστῶν συνέτεινεν, ὅπως τὴν μεγάλην αὐτοῦ ῥυθμικὴν ἐπίδρασιν ἐπιτύχῃ.*

Ἐκ τῶν καταχωρισθέντων ὁμοίων παραδειγμάτων ἐν οἷς ὁ Ἀριστείδης τὸν Δημοσθένην ἀπομιμεῖται, σαφῶς καταφαίνεται, ὅτι οὗτος πολλούς ἀγῶνας καὶ μεγάλας προσπαθείας διὰ τὴν ἀπομίμησιν ταύτην κατέβαλεν, ἀλλ' ἅπας ὁ ἀγών αὐτοῦ οὐκ ἠδυνήθη ἀφικέσθαι εἰς τὸ εὐχάριστον ἀποτέλεσμα τῆς πραγματοποιήσεως τῶν ὀνείρων αὐτοῦ· διότι καὶ αὐτὸς βλέπων τὸ δυσχερὲς τοῦ ἔργου πολλάκις οὐκ ἐτόλμα ἀπ' εὐθείας ὁμολογεῖν, ὅτι ῥᾴδιον τοῦτό ἐστιν, ἀλλ' ἀείποτε ὑπὸ τὸ πρόσχημα θεοῦ τινός ἤ ὀνείρου τὴν ἑαυτοῦ γνώμην ἔλεγεν.

Ἐνῷ οὖν ἡ σοφιστική τέχνη ἐν τοιαύτῃ καταστάσει κατὰ τὴν 2αν ἑκατονταετηρίδα εὑρίσκετο, πῶς ἦτο δυνατόν προϊόντα κλασικῆς ῥητορικῆς ἐποχῆς παρασχεῖν; αὕτη ἦν πενιχρὰ εἰς τὰς ἐννοίας καὶ ἡ κυρίως παρόρμησις πρὸς

---

1) *ἴδε* Baumgart *εἰς Αἴλιον Ἀριστείδην σελ.* 149.

λόγους, ἡ ὕλη ἡ τὸν οἰκεῖον σχηματισμόν ἀπαιτοῦσα ἔλειπεν ἀπ' αὐτῆς. Ὅθεν αὕτη ἠκολούθει τῇ ἐναντίᾳ ὁδῷ, οἱ τύποι αὐτῆς ἐζήτουν τὴν αἰτίαν περιεχομένου τινός, οὕτω καθίστατο τὸ στερεότυπον εἶδος τοῦ λόγου τῆς ῥητορείας τῶν σοφιστῶν. Ἐν ταῖς μελέταις ἀπεμιμεῖτο ἡ σοφιστική τὸ παρόν καὶ ἐζητεῖτο ἡ ὑπερβολή, ἐνῷ αἱ ἐπιτηδειόταται ἐκφράσεις ἔτι περαιτέρω ἐξετείνοντο καὶ διὰ σοφιστικῶν διαιρέσεων ἐπολλαπλασιάζοντο ἢ ἐπεξειργάζοντο δεδομένην ἱστορικὴν ὕλην καθ' ὅμοιον τρόπον καθ' ὅν ἡ ἱστορική ἀλήθεια ἄλλως οὐδαμῶς συνδεδεμένη ἦν, ἢ τέλος ἐξησκεῖτο ἡ σοφιστική τέχνη περὶ οὐδενὸς λέγειν. Τὸ τελευταῖον εἶδος οὐκ ἔστιν παρὰ τῷ Ἀριστείδῃ, ἐπειδὴ οὗτος ἀείποτε τὴν ἐμφάνειαν τῆς σπουδαιότητος καὶ ἀληθείας ἐζήτει ἀποδιδόναι. Οἱ ἐγκωμιαστικοί λόγοι προσήνεγκον ἁρμόδιον πρὸς καλλιέργειαν πεδίον. Καθ' ὁρισμένους κανόνας ἐπῃνέθησαν πηγαί, ποταμοί, θάλασσαι, νῆσοι, καὶ πόλεις, αἱ θέσεις αὐτῶν, ἡ ἀρχαιότης, ἡ οἰκοδόμησις· ἀφηγήθησαν οἱ ἀρχαῖοι μῦθοι, οἱ ἥρωες ἐτιμήθησαν, οἱ θεοί ἐδοξάσθησαν· ἐνταῦθα συνίσταται ἡ εἰδικότης τοῦ Ἀριστείδου.

Οἱ λόγοι τοῦ Ἀριστείδου ἀνήκουσι κατὰ μέγα μέρος εἰς τὸ ἐπιδεικτικόν εἶδος, καὶ μάλιστα ἐν στενωτέρᾳ ἐννοίᾳ τῆς λέξεως, καθ' ἥν ὁ Μένανδρος τό ἐπιδεικτικόν εἶδος ἐννοεῖ[1]), ὡς ἐγκωμιαστικοὺς καὶ τοὐναντίον. Ἐν εὐρυτέρᾳ ἐννοίᾳ δηλοῦσιν οἱ σοφισταί διὰ τῆς λέξεως, ἐπίδειξις, τὸν πρὸς ἐξάσκησιν λόγον, δῆλα δὴ τὸν κατὰ καὶ ὑπὲρ δεδομένου τινός θέματος, ὡς λέγει ὁ Μένανδρος — τῶν δὴ ἐπιδεικτικῶν τὸ μὲν ψόγος, τὸ δ' ἔπαινος[2]).

Ὁ Μένανδρος ὅστις ὀλίγον βραδύτερον ἡμίσειαν ἑκατονταετηρίδα μετὰ τὸν Ἀριστείδην ἔγραψεν, ἀποδίδει αὐτῷ τὸν μέγιστον ἔπαινον μεταξὺ τῶν ῥητόρων τοῦ εἴδους τούτου, οὗτος ἀγαπᾷ ἀναφέρεσθαι εἰς Ἀριστείδην καὶ ἐπεξειργάσθη μέρη τινά δημοσίᾳ κατὰ τὸ παράδειγμα τοῦ Ἀριστείδου καὶ ἀνύψωσε τὴν ἐκεῖ πρᾶξιν πρὸς θεω-

1) Ἴδε Spengel Τόμ. III. σελ. 331.

2) Μένανδ. Τόμ Α΄. περὶ ἐπιδεικ.

ρίαν. Ὑπὸ τοῦ αὐτοῦ λέγεται ἐν τῷ περὶ ἐπικλήσεως τῶν θεῶν — ἔφην δὲ γενέσθαι τινάς ὕμνους καὶ ἐξ ὁμοίου τούτων ἁπάντων ἢ τῶν πλείστων συντεθέντων, οἵπερ εἰσί καὶ τελεώτατοι ἔπαινοι καὶ μάλιστα τοῖς συγγραφεῦσι πρέποντες· τῷ μὲν γὰρ ποιητῇ ἐξαρκεῖ καὶ μέρος τι ἀπολαβόντα καὶ κατακοσμήσαντι τῇ ποιητικῇ κατασκευῇ πεπαύσθαι, ὁ δὲ συγγραφεὺς πειράσεται διὰ πάντων ἐλθεῖν· χαριέστατον δὲ τῶν τοιούτων μέρος παρέσχηται ἐν τοῖς μαντικοῖς Ἀριστείδου· οὗτος γὰρ τὸν Ἀσκληπιὸν καὶ τὴν Ὑγιείαν συγγέγραφεν, οὐκ ἔτι μοι ὡς ἐπαίνων ἀνθρωπίνων περιέργειαν ἔχοντας[1]).

Ὄντως ὅμως οἱ λόγοι οἱ πρὸς τιμήν τῶν θεῶν γεγραμμένοι, ὧν τὸ πλεῖστον μέρος διαρρήδην ἀναφέρει, ὅτι οὗτοι ὑπὸ θείας ἐπιρροῆς συντεταγμένοι εἰσίν, ἐστί τὸ κάλλιστον μέρος ὅπερ ὁ Ἀριστείδης γέγραφεν. Ἡ ὕλη παρέσχεν ἐνταῦθα μέγαν ὄγκον, ἐν ᾧ ῥάδιον ἦν ἐκ τῆς πληθύος τῶν μύθων τοὺς ἁρμοδιωτάτους ἐκλεχθῆναι· αἱ παντοειδεῖς ἀντιλήψεις καὶ ἑρμηνεῖαι τούτων ἦσαν ἐν χρήσει καὶ διὰ τὸ ὅλον ἐξ αὐτομάτου παρείχετο ὑψιπετὴς ποιητικὸς χρωματισμός. Εἰκὸς δὲ ἐστίν, ὅτι ἡ ῥητορικὴ ἄσμενος πρός τὴν ὕλην ταύτην ἐστράφη, ἥτις λαμπροτέραν ὑπηρεσίαν αὐτῇ παρέσχεν, ἢ ὁ Μαραθὼν καὶ ἡ Σαλαμίς. Τούτων οὕτως ἐχόντων, αἱ ἐλλείψεις τῆς σοφιστικῆς ἐκ τοῦ ἑαυτῆς συστήματος ἀναγκαίως πηγάζουσιν· ἔδει ταύτην μακρὰν τοῦ βάθους τῶν ἐννοιῶν ἀπέχειν.

Ἡ ἐπιδεξιότης ἐν τῇ διαπραγματεύσει τῶν τύπων οὐκ ἐξήρκει πάντοτε, ἵνα ῥήτορα καὶ ἀκροατάς περὶ τῆς ψυχρᾶς κενότητος τοῦ περιεχομένου ἐξαπατήσῃ. Ἡ φαντασία ἀπήτει, ἵνα κατὰ τὴν ἀξίωσιν τῶν τύπων οἱονεί συμμορφώσῃ διαφόρους θέσεις καὶ ἰσχυροτέρας κινήσεις. Αὗται εὑρίσκοντο σπανίως ἐν πραγματικῇ ζωῇ, καὶ παρέσχον ἐνίοτε παρότρυνσιν πάσῃ δυνάμει τὸν λόγον προσφέρειν ὡς ψυχρὸν καὶ νενεκρωμένον, ὡς σχολαστικὸν καὶ μόνον τὴν ἀπαγγελτικὴν τῆς σοφιστικῆς τέχνης ἐζήτουν

1) Μένανδ. Τόμ. Α΄. σελ. 343.

ἐπιδεῖξαι. Ἀναγινώσκων τις τοὺς τρεῖς λόγους τοῦ Ἀριστείδου περὶ τοῦ ἐν Σμύρνῃ σεισμοῦ, οὐκ αἰσθάνεταί τι συγκινητικὸν ἐξ ἀληθοῦς γλώσσης. Ὁ αὐτοκράτωρ Μ. Αὐρήλιος ἅμα τὴν ἐπιστολὴν τοῦ Ἀριστείδου ἀνέγνω, ἥτις παρώτρυνεν αὐτὸν πρὸς ἀνοικοδόμησιν τῆς καταστραφείσης πόλεως, ἀφῆκε βαθὺν στεναγμόν, ὅτε δ' ὅμως ἔφθασεν ἐν τῷ χωρίῳ ἐν ᾧ ἐφέρετο — ζέφυροι δ' ἔρημον πνέουσιν — ἐνταῦθα, λέγεται, ἔβρεξε δάκρυσι τὴν ἐπιστολήν [1]).

Οὕτω λίαν ἐξησκημένοι οἱ ῥήτορες οὗτοι εἰς τὸ μεταπλάττειν τὰ πράγματα ἦσαν, ὥστε ἐν τούτοις οὐδαμοῦ ἡ πραγματικότης ἐμφαίνεται· διότι ἀπὸ τούτων ἡ παράστασις τῆς ἀληθείας ᾤχετο ἀπιοῦσα, ἐπίσης δὲ οὗτοι ἐν τῇ σπουδῇ οὐχ εὑρίσκουσι τὸ μέτρον καὶ τὴν βάσιν, ἅτινα πάντῃ ἀπ' αὐτῶν ἐλλείπουσιν· ἐπειδὴ οὐκ ἔχουσι τὴν ἔννοιαν τί ἐστιν ἀλήθεια. Τὰ συμβεβηκότα καὶ τ' ἀντικείμενα, εἰσὶ δι' αὐτοὺς μόνον ἀφορμὴ καὶ διεξοδικὸν σημεῖον, ἵνα κατὰ τὰ ἑαυτῶν σχήματα ῥητορικὰς παρεκβάσεις πρὸς τούτῳ συνάψωσιν, αἵτινες μετὰ τῶν ἑαυτῶν ὑπερβολῶν καὶ διαιρέσεων μετὰ τῶν ἑαυτῶν ἀποστροφῶν καὶ λογοπαιγνίων θαυμάσιόν τι κρᾶμα ὑψηλῶν ἐννοιῶν καὶ φαντασίας παρέσχον, ἀλλὰ μόνον ὑψηλήν τινα ἔννοιαν μετὰ σοφιστείας ἐκδεδηλωμένην, καὶ φαντασίαν τινὰ ἐν φρούδοις λογοπαιγνίοις καταναλισκομένην, ἐπετήδευον.

Τοιούτου ὄντος τοῦ χαρακτῆρος τῶν τοῦ Ἀριστείδου λόγων, ἱκανῶς ἤδη δῆλον γίγνεται, ὅτι οὗτος μόνον κατὰ τοὺς ἐξωτερικοὺς τύπους μιμεῖται τὸν Δημοσθένην, τῆς δὲ ἐσωτερικῆς σχέσεως τῶν δημοσθενείων λόγων ἀφίσταται ὁ Ἀριστείδης ὅσον ὁ οὐρανὸς ἀπὸ τῆς γῆς· διότι παρὰ μὲν τῷ Δημοσθένει ὑπάρχει ὕψος ἐννοιῶν, σαφήνεια, σύνδεσμος ἀπαράμιλλος τῶν νοημάτων, χρῆσις προσήκουσα τῶν διαφόρων ῥητορικῶν σχημάτων, φυσικὴ ῥοὴ τοῦ λόγου, πίστεις καὶ ἀποδείξεις ἀληθεῖς, ῥυθμικὴ ἀνεπιτήδευτος, ἀπαγγελία ἀβίαστος, χάρις εὐφραδείας μεγαλοπρεπής, ἑνὶ

1) Φιλόστρ. περὶ Ἀριστείδ. Diend. Τόμ. III. σελ. 759.

λόγῳ οἱ τοῦ Δημοσθένους λόγοι παριστῶσιν οὐχὶ φενάκην, ἀλλὰ τοὐναντίον λαλοῦσιν αὐτὰ τὰ πράγματα· οὐδαμοῦ ὑπάρχει κενή τις φράσις παρὰ Δημοσθένει· ἐνῷ παρ᾽ Ἀριστείδῃ ἀείποτε ἐπιπολάζει τὸ ἐπιτηδεύειν καὶ τὴν ἐλαχίστην ἔκφρασιν καλλιεπῶς παραστῆσαι, ἀδιαφοροῦντι περὶ τῆς ἐσωτερικῆς ἐννοίας τοῦ πράγματος.

Οὗτος ἐκλαμβάνει τὴν λέξιν, λόγος, οὐχὶ μετὰ τῆς βαθυτέρας πνευματικῆς ἐννοίας, ἀλλὰ μόνον ὑπὸ τὸν τύπον ῥητορικῆς εὐγλωττίας· ἐντεῦθεν ἡ μικρά ἰδέα τοῦ Ἀριστείδου περὶ φιλοσοφίας καὶ ποιήσεως, ἐντεῦθεν τὸ μή σοβαρὸν καὶ ἐπιπόλαιον τῶν λόγων αὐτοῦ. Τέχνην τοῦ γράφειν μακροσκελεῖς περιόδους καὶ παραστάσεις, κέκτηται οὗτος ἐν ὑψηλῷ βαθμῷ, ἀλλ᾽ οὐδεμίαν ἀξίαν λόγου ἐξεικόνισιν τῶν ἀντικειμένων ἐκ τῶν ἀναριθμήτων αὐτοῦ περιγραφῶν ἔχομεν. Τέλος ἐλλείπει ἀπὸ τοῦ ῥυθμοῦ αὐτοῦ ἡ ἐλαφρὰ εὐγενὴς χάρις τοῦ ἀπὸ στόματος ῥέοντος λόγου καὶ ἀπολείπεται πολὺ τῆς βαρυτῆτος τῆς τοῦ Δημοσθένους γλώσσης· ὅ τι ὑπελείφθη αὐτῷ διὰ τῆς μανιώδους ἐκείνης ῥυθμικῆς ἀπομιμήσεως, ἐστίν ἡ γριφώδης περιπλοκή τῶν περιόδων καὶ ἡ ἀσάφεια τῆς ἐκφράσεως οὕτως, ὥστε ὁ Ῥαΐσκιος λέγει περὶ αὐτοῦ: scriptum grecorum quotquot logi post oratorem Thucydidem unus Aristides est omnium intelectu difficillimus cum propter incredibilem argumentationum et crebritatem et subtilitatem tum propter grecitatis exquisitam elegantiam[1]).

Ἀλλὰ παρὰ τοῖς συγχρόνοις τοῦ Ἀριστείδου καὶ τοῖς μετὰ ταῦτα τοσαύτην ἐντύπωσιν οἱ λόγοι αὐτοῦ προὐξένησαν ἕνεκα τοῦ ἐπιτετηδευμένου τῆς φαινομενικῆς ἐμβριθοῦς πολυμαθείας αὐτοῦ καὶ τῆς ἀπατηλῆς λεπτολογίας συνεπτυγμένων ἀποδείξεων, ὥστε τοὺς λόγους αὐτοῦ μετὰ ζήλου ἐν τοῖς σχολείοις ἀναγινώσκειν, καὶ τοὺς ῥήτορας Μητροφάνην καὶ Σώπατρον τὰ ἔργα αὐτοῦ, δῆλα δὴ τὸν Παναθηναϊκὸν καὶ τὸν ὑπὲρ τῶν τεσσάρων σχολιάσαι[2]).

---

1) ὅρα griech. Lit.gesch. Christ. σελ. 529.

2) Ὅρα ἐν τοῖς προλεγομένοις Ἀριστείδου ἐν τῇ Δινδορφείῳ ἐκδόσει ἐν Τόμ Γ΄. ἔνθα ἐπαινέται αὐτοῦ φέρονται οἱ ἑξῆς· ἐν σελ. 737 καὶ 474 ἀνώνυμοί τινες ἐν σελ. 758 Φιλόστρατος, ἐν σελ. 741 Λογγῖ-

Ἀλλ' ὅσῳ ἤδη ἡ τότε μὴ μετ' ἐπιστασίας γιγνομένη διάκρισις περὶ τῶν τοῦ Ἀριστείδου λόγων ἀνύψωσεν αὐτὸν καὶ ἐνόμιζεν ἴσως ἄλλον Δημοσθένην, τοσούτῳ ἡ ὀξυδερκὴς κριτικὴ διάγνωσις τῆς νέας ἐποχῆς διηυκρίνισε καὶ εὗρε τὴν ἀληθῆ ἀξίαν τῶν τοῦ Ἀριστείδου λόγων, ὥστε τοῦτον μὴ μένειν πλέον ἐν τῇ προτέρᾳ τιμητικῇ θέσει τῶν ἀρχαίων.

Τέλος.

νος. Phrynichus Arabicus libro XI. σοφιστικῆς παρασκευῆς apud Photium Biblioth. Cod. CLVIII. (p. 101. ed. Bekker). Libanius in orat. pro Saltatoribus contra Aristidem Τομ. II. p. 475. Eunapius in Vita Himerii p. 166. Synesius in Dione p. 40. Photius in Biblioth. Cod. CCX—LVI. Suidas sub voce Ἀριστείδης. Antholog. Graec. lib. 4. p. 376. Edit. H. Steph. Θωμᾶ σχολαστικοῦ. Pius IV. Papa Romanus in basi Statuae Aristidis ab ipso collocatae in Biblioth. Hieronimus Wolfius in Praefat. καὶ ἄλλοι.

Σημ. Ἐξαιτούμεθα τὴν ἐπιείκειαν τῶν φίλων ἀναγνωστῶν διὰ τὰ ἐναπομείναντα τυπογραφικὰ σφάλματα, ἅτε τῶν Γερμανῶν στοιχειοθετῶν ἀπείρων ὄντων περὶ τὸ Ἑλληνιστὶ στοιχειοθετεῖν.